fieri potest, accidit. δυνατὰ σήμερον τὸ δὲ γενέσθαι, possibile est, ἢ fieri, potest, λέγεται τοῦτο, καὶ λέγεται τὸν φίλον ἐλθεῖν, dicitur, ἐρρέθη μοι dictum est. Καὶ τὰ περιποιητικά· οἷον, ἠκούσθη μοι auditum est mihi, ἐγνώσθη μοι, cognitum, ἢ decretum est, καὶ ἠκούσθη ὑπ' ἐκείνων. καὶ ταῦτα μὲν ἱκανά· ζήτει περὶ τῶν αὐτῶν κεφαλαίω κϛω ἐπιτομῆς καὶ ἐν τῷ αῳ βιβλίῳ κεφαλαίῳ ιθῳ.

## Περὶ αὐθυποτάκτων καὶ ἀνυποτάκτων ῥημάτων.

Τῶν ῥημάτων τὰ μὲν αὐθυπότακτα καλεῖται, τὰ δὲ ἀνυπότακτα· καὶ τῶν αὐθυποτάκτων, τὰ μὲν ἐνεργητικῶς, τὰ δὲ παθητικῶς προφέρονται· ὡσαύτως καὶ τὰ ἀνυπότακτα.
Εἰσὶ δὲ αὐθυπότακτα ἐνεργητικά, ὧν τὸ ῥῆμα βαρύνεται, καὶ ἡ μετοχὴ ὀξύνεται, καὶ τὸ ἀπαρέμφατον περισπᾶται· τούτων τὰ ἑνικὰ δεύτερα καὶ τρία πρόσωπα, καὶ τὰ πληθυντικὰ πρῶτα αὐθυπότακτα λέγονται· οἷον δάκω, mordeo δακών, δακεῖν, ἐὰν δάκῃς, δάκῃ, ἐὰν δάκωμεν· δράμω, curro, δραμών, δραμεῖν, ἐὰν δράμῃς, δράμῃ, ἐὰν δράμωμεν· λάθω, lateo, ignotus sum, obliviscor λαθών, λαθεῖν, ἐὰν λάθῃς, λάθῃ, ἐὰν λάθωμεν.
Πίω, bibo, πιών, πιεῖν, ἐὰν πίῃς, πίῃ, ἐὰν πίωμεν. Ἀνάσχω, tolero, sustineo, ἀνασχών ἀνασχεῖν, ἐὰν ἀνάσχῃς, ἀνάσχῃ, ἐὰν ἀνάσχωμεν, ὡσαύτως καὶ ἄλλα πλεῖστα.
Τὰ δὲ παθητικῶς προφερόμενα, ταῦτα· ἀνάσχωμαι ἀντὶ σχῶμαι, teneo, habeo, ἀπόσχωμαι, abstinuerim, ἀφίκωμαι, pervenerim. γένωμαι, factus sim